# ΗΡΑΚΛΕΙΤΟΣ

Plotinus, Enneades IV, 8 (6) 1, 1-17 *Περὶ τῆς εἰς τὰ σώματα καθόδου τῆς ψυχῆς*

*Πολλάκις ἐγειρόμενος εἰς ἐμαυτὸν ἐκ τοῦ σώματος καὶ γινόμενος τῶν μὲν ἄλλων ἔξω, ἐμαυτοῦ δὲ εἴσω, θαυμαστὸν ἡλίκον ὁρῶν κάλλος, καὶ τῆς κρείττονος μοίρας πιστεύσας τότε μάλιστα εἶναι, ζωήν τε ἀρίστην ἐνεργήσας καὶ τῷ θείῳ εἰς ταὐτὸν γεγενημένος καὶ ἐν αὐτῷ ἱδρυθεὶς εἰς ἐνέργειαν ἐλθὼν ἐκείνην ὑπὲρ πᾶν τὸ ἄλλο νοητὸν ἐμαυτὸν ἱδρύσας, μετὰ ταύτην τὴν ἐν τῷ θείῳ στάσιν εἰς λογισμὸν ἐκ νοῦ καταβὰς ἀπορῶ, πῶς ποτε καὶ νῦν καταβαίνω, καὶ ὅπως ποτέ μοι ἔνδον ἡ ψυχὴ γεγένηται τοῦ σώματος τοῦτο οὖσα, οἷον ἐφάνη καθ' ἑαυτήν, καίπερ οὖσα ἐν σώματι. Ὁ μὲν γὰρ Ἡράκλειτος, ὃς ἡμῖν παρακελεύεται ζητεῖν τοῦτο, ἀμοιβάς τε ἀναγκαίας τιθέμενος ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω κάτω εἰπὼν καὶ μεταβάλλον ἀναπαύεται καὶ κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι εἰκάζειν ἔδωκεν ἀμελήσας σαφῆ ἡμῖν ποιῆσαι τὸν λόγον, ὡς δέον ἴσως παρ' αὐτῷ ζητεῖν, ὥσπερ καὶ αὐτὸς ζητήσας εὗρεν.*

*   *   *

Fr. 15 (101 DK)[1]
(a) Plut. Adv. Colot., 1118 C. *ὁ δ' Ἡράκλειτος ὡς μέγα τι καὶ σεμνὸν διαπεπραγμένος 'ἐδιζησάμην' φησίν 'ἐμεωυτόν', καὶ τῶν ἐν Δελφοῖς γραμμάτων θειότατον ἐδόκει τό 'γνῶθι σαυτόν'· ὃ δὴ καὶ Σωκράτει* <*τῆς*> *ἀπορίας καὶ ζητήσεως ταύτης ἀρχὴν ἐνέδωκεν.*

(d[2]) Diog. Laert. IX, 5. *Γέγονε δὲ θαυμάσιος ἐκ παίδων, ὅτε καὶ νέος ὢν ἔφασκε μηδὲν εἰδέναι, τέλειος μέντοι γενόμενος πάντα ἐγνωκέναι· ἤκουσέ τ' οὐδενός, ἀλλ' αὑτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑαυτοῦ.*

Fr. 54 (90 DK)
(a) Plut. De E, 388 E. *πυρός τε ἀνταμοιβὴν τὰ πάντα' καὶ πῦρ ἁπάντων, ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός.*

(c[3]) Plot. IV, 8, 1. *ἀμοιβὰς ἀναγκαίας*

Fr. 33 (60 DK) Hippolytus, Refut. IX, 10, 4: *ὁδὸς ἄνω κάτω μία καὶ ὡυτή.*

Fr. 56a (84a DK) Plot. IV, 8, 1. *μεταβάλλον ἀναπαύεται*

Fr. 56b (84b DK) Plot. IV, 8, 1. *κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι*

---

[1] Нумерация фрагментов – по Марковичу: Heraclitus. Greek text with a short commentary by M. Marcovich, ed. Maior, Merida, 1967. В скобках – нумерация по Дильсу-Кранцу: Die Fragmente der Vorsokratiker, Griechisch und Deutsch, von H. Diels, hrsg. Von W. Kranz, Bd. I-III, 1951-1952.

# ΤΑ ΕΝΑΝΤΙΑ

Fr. 35 (61 DK) Hippolytus, Refut. IX, 10, 5 *καὶ τὸ μιαρόν φησιν καὶ τὸ καθαρὸν ἓν καὶ ταὐτὸ εἶναι, καὶ τὸ πότιμον καὶ τὸ ἄποτον ἓν καὶ τὸ αὐτό [εἶναι]· θάλασσα, φησίν, ὕδωρ καθαρώτατον καὶ μιαρώτατον· ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.*

Fr. 36 (13 DK) Clem. Strom. I 2: *ὕες βορβόρωι ἥδονται μᾶλλον ἢ καθαρῶι ὕδατι.*

Fr. 37 (9 DK) Arsitoteles, Eth. Nic. K 5. 1176a 7 *ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτος φησιν ὄνους σύρματ' ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις.*

Fr. 43 (57 DK) Hippolytus, Refut. IX, 10, 2. *τοιγαροῦν οὐδὲ σκότος οὐδὲ φῶς, οὐδὲ πονηρὸν οὐδὲ ἀγαθὸν ἕτερόν φησιν εἶναι ὁ Ἡράκλειτος, ἀλλὰ ἓν καὶ τὸ αὐτό. ἐπιτιμᾷ γοῦν Ἡσιόδῳ, ὅτι ἡμέραν καὶ νύκτα <οὐκ> οἶδεν· ἡμέρα γάρ, φησί, καὶ νύξ ἐστιν ἕν, λέγων ὧδέ πως· διδάσκαλος δὲ πλείστων Ἡσίοδος·τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν· ἔστι γὰρ ἕν.* [2]

Fr. 39 (48 DK) ETYM. GEN. *βίος*: *τῶι οὖν τόξωι ὄνομα βίος, ἔργον δὲ θάνατος.*

Fr. 41 (88 DK) Plut. cons. ad Apoll. 10 p. 106 E: *ταὐτό τ' ἔνι ζῶν καὶ τεθνηκὸς καὶ [τὸ] ἐγρηγορὸς καὶ καθεῦδον καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα.*

Fr. 93 (52 DK) Hippol. Refut. IX, 9, 3-4: *ὅτι δὲ λόγος ἐστὶν ἀεὶ τὸ πᾶν καὶ διὰ παντὸς ὤν, οὕτως λέγει*·[Fr. 1] …*ὅτι δέ ἐστι παῖς τὸ πᾶν καὶ δι' αἰῶνος αἰώνιος βασιλεὺς τῶν ὅλων, οὕτως λέγει· αἰὼν παῖς ἐστι παίζων, πεσσεύων· παιδὸς ἡ βασιληίη.*

Fr. 42 (126 DK) Tzetzes, schol. ad exeg. Il. p. 126 Herm. *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται.*

Fr. 44 (111 DK) Stob. Flor. I 177: *νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν.*

---

[2] Hesiodus, Theogonia, 748-757:

*… ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι*
*ἀλλήλας προσέειπον ἀμειβόμεναι μέγαν οὐδὸν*
*χάλκεον· ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε*
*ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,*
*ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα*
*γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα*
*μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται·*
*ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,*
*ἡ δ' Ὕπνον μετὰ χερσί, κασίγνητον Θανάτοιο,*
*Νὺξ ὀλοή, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.*
*ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,*
*Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς*
*Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν*
*οὐρανὸν εἰσανιὼν οὐδ' οὐρανόθεν καταβαίνων.*

В месте, где с Ночью встречается День: чрез высокий ступая
Медный порог, меж собою они перебросятся словом –
И разойдутся; один поспешает наружу, другой же
Внутрь в это время нисходит: совместно обоих не видит
Дом никогда их под кровлей своею, но вечно вне дома
Землю обходит один, а другой остается в жилище
И ожидает прихода его, чтоб в дорогу пуститься.
К людям на землю приходит один с многовидящим светом
С братом Смерти, со Сном на руках, приходит другая -
Гибель несущая Ночь, туманом одетая мрачным.
Там же имеют дома сыновья многосумрачной Ночи,
Сон со Смертью — ужасные боги. Лучами своими
Ярко сияющий Гелий на них никогда не взирает,
Всходит ли на небо он иль обратно спускается с неба.

Hesiodus, Theogonia, 123 -126
*ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·*
*Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,*
*οὓς τέκε κυσαμένη Ἐρέβει φιλότητι μιγεῖσα.*

Черная Ночь и угрюмый Эреб родились из Хаоса.
Ночь же Эфир родила и сияющий День, иль Гемеру:
Их зачала она в чреве, с Эребом в любви сочетавшись
*Пер. В. Вересаева*

.

Fr. 47 (62 DK) Hippolytus, Refut. IX, 10, 6. *ἀθάνατοι θνητοί, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, τὸν δὲ ἐκείνων βίον τεθνεῶτες.*

Fr. 48 (26 DK) Clem. Strom. IV, 141, 1-2: *ὅσα δ' αὖ περὶ ὕπνου λέγουσι, τὰ αὐτὰ χρὴ καὶ περὶ θανάτου ἐξακούειν. ἑκάτερος γὰρ δηλοῖ τὴν ἀπόστασιν τῆς ψυχῆς, ὃ μὲν μᾶλλον, ὃ δὲ ἧττον, ὅπερ ἐστὶ καὶ παρὰ Ἡρακλείτου λαβεῖν·ἄνθρωπος ἐν εὐφρόνῃ φάος ἅπτεται ἑαυτῷ ἀποθανών ἀποσβεσθεὶς ὄψεις, ζῶν δὲ·ἅπτεται τεθνεῶτος εὕδων, ἀποσβεσθεὶς ὄψεις· ἐγρηγορὼς ἅπτεται εὕδοντος.*

Fr. 77 (67 DK) Hippolytus, Refut. IX, 10, 8. *ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη,*[3] *κόρος λιμός—τἀναντία ἅπαντα, οὗτος ὁ νοῦς· – ἀλλοιοῦται δὲ ὅκωσπερ* <*πῦρ*>, *ὁκόταν συμμιγῇ θυώμασιν, ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου.*

Fr. 78 (7 DK) Aristoteles, de sensu 443a 23: *εἰ πάντα τὰ ὄντα καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν.*

Fr. 72 (98 DK) Plutarchus, fac. lun. 28 p. 943 E: *αἱ ψυχαὶ ὀσμῶνται καθ' Ἅιδην.*

Fr. 5 (55 DK) Hippolytus, Refut. IX, 9, 5: *ὅτι δὲ ἐστιν ὁ πατὴρ πάντων τῶν γεγονότων … ὁρατὸς ἀνθρώποις, καὶ οὐκ ἀνεξεύρετος, ἐν τούτοις λέγει·ὅσων ὄψις ἀκοὴ μάθησις, ταῦτα, φησίν, ἐγὼ προτιμέω, τουτέστι τὰ ὁρατὰ τῶν ἀοράτων.*

Fr. 13 (107 DK) SEXT. EMP. VII 126: *κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων.*

Fr. 3 (17 DK) CLEM. Strom. II 8: *οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι.*

Fr. 91 (102 DK) Porphyr. Quaest. Homeric. zu IV, 4: *ἀπρεπές φασιν, εἰ τέρπει τοὺς θεοὺς πολέμων θέα. ἀλλ' οὐκ ἀπρεπές· τὰ γὰρ γενναῖα ἔργα τέρπει. ἄλλως τε πόλεμοι καὶ μάχαι ἡμῖν δεινὰ δοκεῖ, τῷ δὲ θεῷ οὐδὲ ταῦτα δεινά. συντελεῖ γὰρ ἅπαντα ὁ θεὸς πρὸς ἁρμονίαν τῶν ἄλλων ἢ καὶ ὅλων, οἰκονομῶν τὰ συμφέροντα, ὅπερ καὶ Ἡράκλειτος λέγει, ὡς τῶι μὲν θεῶι καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαια.*

Fr. 21 (56 DK) Hippolytus, Refut. IX, 9, 5 *ἐξηπάτηνται, φησίν, οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρωι, ὃς ἐγένετο τῶν Ἑλλήνων σοφώτερος πάντων. ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν εἰπόντες· ὅσα εἴδομεν καὶ ἐλάβομεν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε εἴδομεν οὔτ' ἐλάβομεν, ταῦτα φέρομεν.*

Fr. 16 (40 DK) Diog. Laert. IX 1 *πολυμαθίη νόον ἔχειν οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον.*

Fr. 17 (129 DK) Diog. Laert. VIII 6 *Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην.*

---

[3] См. частые сравнения у Гомера сцен сражения со сценами мирной жизни. В Илиаде XII 278-286 войска ахейцев и защитников Трои мечут друг в друга камни

Homer, Ilias, 278-286 : «Словно как снег, устремившись, хлопьями сыплется частый,
В зимнюю пору, когда громовержец Кронион восходит
С неба снежить человекам, являя могущества стрелы:
Ветры все успокоивши, сыплет он снег беспрерывный,
Гор высочайших главы и утесов верхи покрывая,
И цветущие степи, и тучные пахарей нивы;
Сыплется снег на брега и на пристани моря седого;
Волны его, набежав, поглощают, но все остальное
Он покрывает…»

# ΠΑΝΤΑ ΡΕΙ

Fr. 40 (12 DK)
(a) Arius Did. ap. Eus. P. E. XV 20: *Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν, καθάπερ Ἡράκλειτος.· βουλόμενος γὰρ ἐμφανίσαι, ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτὰς τοῖς ποταμοῖς λέγων οὕτως· ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται.*

(b[1]) Plato, Theaet. 152 d: *Ἐγὼ ἐρῶ καὶ μάλ' οὐ φαῦλον λόγον, ὡς ἄρα ἓν μὲν αὐτὸ καθ' αὑτὸ οὐδέν ἐστιν, οὐδ' ἄν τι προσείποις ὀρθῶς οὐδ' ὁποιονοῦν τι, ἀλλ' ἐὰν ὡς μέγα προσαγορεύῃς, καὶ σμικρὸν φανεῖται, καὶ ἐὰν βαρύ, κοῦφον, σύμπαντά τε οὕτως, ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα ἃ δή φαμεν εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτ' οὐδέν, ἀεὶ δὲ γίγνεται. καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου συμφερέσθων, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς, καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος, <ὃς> εἰπὼν "Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν" πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως·* 160d: *κατὰ μὲν Ὅμηρον καὶ Ἡράκλειτον καὶ πᾶν τὸ τοιοῦτον φῦλον οἷον ῥεύματα κινεῖσθαι τὰ πάντα.* 182 c: *Κινεῖται καὶ ῥεῖ, ὥς φατε, τὰ πάντα...*

(c[3]) (91 DK) Plut. De E, 18 p. 392 B: *ποταμῶι γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῶι αὐτῶι καθ' Ἡράκλειτον οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν <τῆς αὐτῆς>· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει (μᾶλλον δὲ οὐδὲ πάλιν οὐδ' ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει) καὶ πρόσεισι καὶ ἄπεισι.*

Fr. 58 (6 DK)
(a) Arist. Meteor. B 2. 355a: *διὸ καὶ γελοῖοι πάντες ὅσοι τῶν πρότερον ὑπέλαβον τὸν ἥλιον τρέφεσθαι τῷ ὑγρῷ· … ἀναγκαῖον δ' εἶναι τοῦτο συμβαίνειν περὶ αὐτὸν ἢ φθείρεσθαι· καὶ γὰρ τὸ φανερὸν πῦρ, ἕως ἂν ἔχῃ τροφήν, μέχρι τούτου ζῆν, τὸ δ' ὑγρὸν τῷ πυρὶ τροφὴν εἶναι μόνον, —ὥσπερ ἀφικνούμενον μέχρι πρὸς τὸν ἥλιον τὸ ἀναγόμενον τοῦ ὑγροῦ, ἢ τὴν ἄνοδον τοιαύτην οὖσαν οἵανπερ τῇ γιγνομένῃ φλογί, δι' ἧς τὸ εἰκὸς λαβόντες οὕτω καὶ περὶ τοῦ ἡλίου ὑπέλαβον. τὸ δ' οὐκ ἔστιν ὅμοιον· ἡ μὲν γὰρ φλὸξ διὰ συνεχοῦς ὑγροῦ καὶ ξηροῦ μεταβαλλόντων γίγνεται καὶ οὐ τρέφεται (οὐ γὰρ ἡ αὐτὴ οὖσα διαμένει οὐδένα χρόνον ὡς εἰπεῖν), περὶ δὲ τὸν ἥλιον ἀδύνατον τοῦτο συμβαίνειν, ἐπεὶ τρεφομένου γε τὸν αὐτὸν τρόπον, ὥσπερ ἐκεῖνοί φασιν, δῆλον ὅτι καὶ ὁ ἥλιος οὐ μόνον, καθάπερ ὁ Ἡράκλειτος φησι, νέος ἐφ' ἡμέρῃ ἐστίν, ἀλλ' ἀεὶ νέος συνεχῶς.*

(c) Plato, Respublica VI, 498b 2:· …*πρὸς δὲ τὸ γῆρας ἐκτὸς δή τινων ὀλίγων ἀποσβέννυνται πολὺ μᾶλλον τοῦ Ἡρακλειτείου ἡλίου, ὅσον αὖθις οὐκ ἐξάπτονται.*

Fr. 52 (94 DK) Plut. de exil. 11 p. 604 A: *Ἥλιος γὰρ οὐχ ὑπερβήσεται μέτρα· εἰ δὲ μή, Ἐρινύες μιν Δίκης ἐπίκουροι ἐξευρήσουσιν.*

Fr. 59 (106 DK)
(a) Plut. Camill. 19 *περὶ δ' ἡμερῶν ἀποφράδων εἴτε χρὴ τίθεσθαί τινας εἴτε ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδωι τὰς μὲν ἀγαθὰς ποιουμένωι, τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται*

(b) SENECA Ep. 12, 7 unus dies par omni est.

Fr. 31 (125 DK) Theophr. de vertig. 9: *Τὰ γὰρ πεφυκότα κινεῖσθαι τήνδε τὴν κίνησιν σώζεται καὶ συμμένει διὰ ταύτην· εἰ δὲ μή, καθάπερ Ἡράκλειτός φησι, καὶ ὁ κυκεὼν διίσταται μὴ κινούμενος.*

Fr. 51 (30 DK) Clem. Strom. V, 105 (II 396, 10) *κόσμον τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται πῦρ ἀείζωον, ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα.*

# ΠΟΛΕΜΟΣ

Fr. 28 (80 DK) Orig. contra Cels VI 42: εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνόν, καὶ δίκην ἔριν, καὶ γινόμενα πάντα κατ' ἔριν καὶ χρεών. [4]

Fr. 29 (53 DK) Hippol. Refut. IX, 9: Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεύς, καὶ τοὺς μὲν θεοὺς ἔδειξε τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους.

Fr. 25 (10 DK) [Arist.] de mundo 5. 396b 7 ἴσως δὲ τῶν ἐναντίων ἡ φύσις γλίχεται καὶ ἐκ τούτων ἀποτελεῖ τὸ σύμφωνον, οὐκ ἐκ τῶν ὁμοίων· ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον καὶ τὴν πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων. …ταὐτὸ δὲ τοῦτο ἦν καὶ τὸ παρὰ τῶι σκοτεινῶι λεγόμενον Ἡρακλείτωι· συνάψιες ὅλα καὶ οὐχ ὅλα, συμφερόμενον διαφερόμενον, συνᾶιδον διᾶιδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.

Fr. 54 (90 DK) Plut. de E 8 p. 388 E: πυρός τε ἀνταμοιβὴ τὰ πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός.

Fr. 55 (66 DK) Hippol. Refut. IX, 10: λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον· καλεῖ δὲ αὐτὸ χρησμοσύνην καὶ κόρον·χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ' αὐτόν, ἡ δὲ ἐκπύρωσις κόρος.

Fr. 26 (50 DK) Hippol. Refut. IX, 9 Ἡρακλείτος μὲν οὖν φησιν εἶναι τὸ πᾶν διαιρετὸν ἀδιαίρετον, γενητὸν ἀγένητον, θνητὸν ἀθάνατον, λόγον αἰῶνα, πατέρα υἱόν, θεὸν δίκαιον· 'οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι'

Fr. 27 (51 DK) Hippol. Refut. IX, 9, 1: καὶ ὅτι τοῦτο οὐκ ἴσασι πάντες οὐδὲ ὁμολογοῦσιν, ἐπιμέμφεται ὧδέ πως· οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῶι ὁμολογέει· παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρης.

Fr. 9 (54 DK) Hippol. Refut. IX, 9, 5: ὅτι δέ ἐστιν ὁ πατὴρ πάντων τῶν γεγονότων … ἐ(στιν) ἀφανὴς ἀόρατος ἄγνωστος ἀνθρώποις, ἐν τούτοις λέγει· ἁρμονίη ἀφανὴς φανερῆς κρείττων.

Fr. 8 (123 DK) THEMIST. Or. 5 p. 69 φύσις δὲ καθ' Ἡράκλειτον κρύπτεσθαι φιλεῖ.

Fr. 83 (108 DK) STOB. Flor. I 174 Hense: Ἡρακλείτου. ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον.[5]

Fr. 84 (32 DK) Clem. Strom. 116: ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα.

Fr. 85 (41 DK) Diog. Laert. IX, 1: εἶναι γὰρ ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην, ὁτέη ἐκυβέρνησε πάντα διὰ πάντων.

Fr. 79 (64 DK) Hippol. Refut. IX, 10, 7: λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον, λέγων οὕτως· τάδε πάντα οἰακίζει– τουτέστι κατευθύνει– κεραυνός, κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον.

Fr. 80 (11 DK) [Arist.] de mundo 6 p. 401a 8: τῶν τε ζώιων τά τε ἄγρια καὶ ἥμερα τά τε ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν ὕδατι βοσκόμενα γίνεταί τε καὶ ἀκμάζει καὶ φθείρεται τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς· πᾶν γὰρ ἑρπετὸν πληγῆι νέμεται, ὥς φησιν Ἡράκλειτος.

---

[4] Anaximander, DK 12 B1: ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γίνεσθαι κατὰ τὸ χρεών. διδόναι γὰρ αὐτὰ δίκην καὶ τίσιν ἀλλήλοις τῆς ἀδικίας κατὰ τὴν τοῦ χρόνου τάξιν.

[5] Fr. 77 (67 DK) Hippolytus, Refut. IX, 10, 8. ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λιμός – τἀναντία ἅπαντα, οὗτος ὁ νοῦς.

# ΛΟΓΟΣ

Fr. 1 (1 DK) SEXT. adv. math. VII 132: *τοῦ δὲ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἀπείροισιν ἐοίκασι, πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιούτων, ὁκοίων ἐγὼ διηγεῦμαι κατὰ φύσιν διαιρέων ἕκαστον καὶ φράζων ὅκως ἔχει. τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται.*

Fr. 2 (34 DK) Clem. Strom V, 116: *ἀξύνετοι ἀκούσαντες κωφοῖσιν ἐοίκασι· φάτις αὐτοῖσιν μαρτυρεῖ παρεόντας ἀπεῖναι.*

Fr. 4 (72 DK) Marc. Anton. IV, 46: *ὧι μάλιστα διηνεκῶς ὁμιλοῦσι [λόγωι τῶι τὰ ὅλα διοικοῦντι], τούτωι διαφέρονται, καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται.*

Fr. 23 (2 DK) SEXT. VII 133: *διὸ δεῖ ἕπεσθαι τῶι ξυνῶι, τουτέστι τῶι κοινῶι· ξυνὸς γὰρ ὁ κοινός. τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν.*

Fr. 24 (89 DK) Plut. de superst. 3 p. 166 C: *ὁ Ἡ. φησι τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι, τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀποστρέφεσθαι.*

Fr. 49 (21 DK) Clem. Strom. III 21: *οὐχὶ καὶ Ἡράκλειτος θάνατον τὴν γένεσιν καλεῖ ... ἐν οἷς φησι· θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομεν, ὁκόσα δὲ εὕδοντες ὕπνος.*

Fr. 1h$^2$ (75 DK) MARC. ANTON. VI 42: *τοὺς καθεύδοντας οἶμαι ὁ Ἡράκλειτος. ἐργάτας εἶναι λέγει καὶ συνεργοὺς τῶν ἐν τῶι κόσμωι γινομένων.*

Fr. 23 (114DK) Stob. Flor. 179: *ξὺν νόωι λέγοντας ἰσχυρίζεσθαι χρὴ τῶι ξυνῶι πάντων, ὅκωσπερ νόμωι πόλις, καὶ πολὺ ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου· κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται.*

Fr. 23 d$^1$ (113 DK) Stob. Flor. 179: *ξυνόν ἐστι πᾶσι τὸ φρονέειν.*

Fr. 90 (78 DK) ORIG. c. Cels. VI 12: *ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας, θεῖον δὲ ἔχει.*

Fr. 92 (79 DK) - - *ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ παῖς πρὸς ἀνδρός.*

Fr. 94 (119 DK) Stob. Flor. IV 40, 23 *Ἡράκλειτος ἔφη ὡς ἦθος ἀνθρώπωι δαίμων.*

Fr. 67 (45 DK) Diog. Laert. IX, 7: *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει.*

*   *   *

**Литература**:


1. Фрагменты ранних греческих философов, изд. и пер. Лебедева А.В., М.: Наука, 1989.
2. Бибихин В.В., Язык философии, М.: Прогресс, 1993.
3. Мамардашвили М.К., Лекции по античной философии, М.: Аграф, 2002.
4. Ахутин А.В., Античные начала философии, СПб.: Наука, 2007.